8 [8]καὶ ἦσαν γεωργοῦντες τὴν γῆν αὐτῶν μετ᾽ εἰρήνης, καὶ ἡ γῆ
ἐδίδου τὰ γενήματα αὐτῆς καὶ τὰ ξύλα τῶν πεδίων τὸν καρπὸν
9 αὐτῶν. [9]πρεσβύτεροι ἐν ταῖς πλατείαις ἐκάθηντο, πάντες περὶ
ἀγαθῶν ἐκοινολογοῦντο, καὶ οἱ νεανίσκοι ἐνεδύσαντο δόξας καὶ
10 στολὰς πολέμου. [10]ταῖς πόλεσιν ἐχορήγησεν βρώματα καὶ ἔταξεν
αὐτὰς ἐν σκεύεσιν ὀχυρώσεως, ἕως ὅτου ὠνομάσθη τὸ ὄνομα τῆς
11 δόξης αὐτοῦ ἕως ἄκρου γῆς. [11]ἐποίησεν εἰρήνην ἐπὶ τῆς γῆς, καὶ
12 εὐφράνθη Ισραηλ εὐφροσύνην μεγάλην. [12]καὶ ἐκάθισεν ἕκαστος
ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκ-
13 φοβῶν αὐτούς. [13]καὶ ἐξέλιπεν πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ
14 οἱ βασιλεῖς συνετρίβησαν ἐν ταῖς ἡμέραις ἐκείναις. [14]καὶ ἐστήρισεν
πάντας τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ· τὸν νόμον ἐξεζήτησεν
15 καὶ ἐξῆρεν πάντα ἄνομον καὶ πονηρόν· [15]τὰ ἅγια ἐδόξασεν καὶ
ἐπλήθυνεν τὰ σκεύη τῶν ἁγίων.

16 [16]Καὶ ἠκούσθη ἐν Ῥώμῃ ὅτι ἀπέθανεν Ιωναθαν καὶ ἕως Σπάρ-
17 της, καὶ ἐλυπήθησαν σφόδρα. [17]ὡς δὲ ἤκουσαν ὅτι Σιμων ὁ ἀδελ-
φὸς αὐτοῦ γέγονεν ἀρχιερεὺς ἀντ᾽ αὐτοῦ καὶ αὐτὸς ἐπικρατεῖ τῆς
18 χώρας καὶ τῶν πόλεων τῶν ἐν αὐτῇ, [18]ἔγραψαν πρὸς αὐτὸν δέλ-
τοις χαλκαῖς τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ συμμαχίαν,
ἣν ἔστησαν πρὸς Ιουδαν καὶ Ιωναθαν τοὺς ἀδελφοὺς αὐτοῦ.
19 20 [19]καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς ἐκκλησίας ἐν Ιερουσαλημ. [20]καὶ
τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἀπέστειλαν οἱ Σπαρ-
τιᾶται

Σπαρτιατῶν ἄρχοντες καὶ ἡ πόλις Σιμωνι ἱερεῖ μεγάλῳ καὶ τοῖς
πρεσβυτέροις καὶ τοῖς ἱερεῦσιν καὶ τῷ λοιπῷ δήμῳ τῶν Ιουδαίων
21 ἀδελφοῖς χαίρειν. [21]οἱ πρεσβευταὶ οἱ ἀποσταλέντες πρὸς τὸν δῆ-
μον ἡμῶν ἀπήγγειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν καὶ τιμῆς, καὶ
22 ηὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. [22]καὶ ἀνεγράψαμεν τὰ ὑπ᾽
αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως Νουμήνιος
Ἀντιόχου καὶ Ἀντίπατρος Ἰάσονος πρεσβευταὶ Ιουδαίων ἦλθον
23 πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς ἡμᾶς φιλίαν. [23]καὶ ἤρεσεν τῷ
δήμῳ ἐπιδέξασθαι τοὺς ἄνδρας ἐνδόξως καὶ τοῦ θέσθαι τὸ ἀντί-
γραφον τῶν λόγων αὐτῶν ἐν τοῖς ἀποδεδειγμένοις τῷ δήμῳ βι-

8 ξυλα] + αμα S† | τον καρπον] pr. και S*† || 9 πλατειαις] εκκλησιαις S*† | εκοινολογουντο] το > A† | δοξας] -αν Spau. || 10 εχορηγησεν] -σαν S† | εταξαν εαυτους SLa† | οχυρωσεως] -ρωματων S*† || 11 init.] pr. και S^c*L* | ειρηνην] pr. την A || 12 αυτου 1⁰⌒2⁰ S† | ο > S*† || 13 βασιλεις] + αυτων A† || 14 εξεζητησεν] -σαν S† || 15 init. — επληθ.] και S† || 16 ηκουσθη SVLa†] -σεν Apau.: ΕΝ pro ΘΗ; -σαν rel. (*L* add. οι) || 17 αρχιερευς/αντ αυτου] tr. A | αυτος SVLa†] > rel. || 18 init.] pr. και A† | συμμαχιαν SVpau.] pr. την rel. || 19 της > A† || 21 πρεσβευται] -βυτεροι SV†: cf. 22 | οι 2⁰ > S*V*† || 22 πρεσβευται] ε 2⁰ > SV: cf. 21 15 17 || 23 επιδεξασθαι] + τας φιλιας και S^c*L*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1144 UNIVERSITÄT LEIPZIG